τῶν δ' ἐπεὶ ἀμπλακέεσιν ἐπαυρέμεν οὐκ ἔνι πάμπαν (β),
σὴν χάριν αἰτίζω καίπερ ἀτασθαλέων
θεσπεσίην· τῇ πρὶν μεροπήϊον ἐξεσάωσας (γ)
κάμμορον, ἀμπλακίης δμωὸν ἐόντε γένος.
ἤ με βίου τελέσειε σαοφροσύνῃ τε δίκῃ τε (δ)
σὺν δὲ καὶ εὐσεβίῃ τῷδ' ἐν ἐμῷ βιότῳ·
πρός δ' ἀπανηνάμενον θελκτήρια τοῦδε βίοιο
ἐλπίδι συμβιόειν ἀϊδίου βιότου.
μή με Πανοικτίρμων γλυκερῆς αἰῶνος ἀμέρσαις
ἐσσομένης κείνης δεινὰ δι' ἔργματά μευ.
ὡς σὺ δ' ἀλιτροσύνας ἐλέῳ πολέεσσι μεθῆκας
βυσσόθι λισσομένοις ξυντριβίῃ κραδίης,
Δαυΐδῳ πρὶν Ἄνακτι, Μανασσῇ τ', εἶτα τελώνῃ,
μαχλάδι, καί τ' ἄλλοις, τοὺς καὶ ἔμοι γε μέθες.
τοὔνεκα ποτνιόων προσφθέγγομαι, ὥς ποτ' ἐκεῖνοι,
ἤλιτον ἰλήκοις, ἤλιτε χρὼς βρότεος.
ἵλαθι δ' ἀμπλακίῃσιν ὑπερβασίῃσί τ' ἐμῇσιν,
ἄφθιτον ὄφρ' ὑδέω κάρτος ἄληκτα σέθεν.

## Ἄλλος.

Νοσῶν μὲν ᾖσα ταῦτ' ἐμοῦ σῶτερ βίου
δοτὴρ θ' ὑγείας· οὐδαμῶς δὲ σὴν χάριν
ὕμνητα σωθείς· ἀλλὰ σοῦ παρ' οἰκέτου
χρήζοντος ἀεὶ σῆς βοηθείας μόνης
ὁσημέραι τε προσδέχου τάδ' ἵλεως.

Εἰς

(β) α. Κορινθ. ς. 9. Γαλατ. Ε. 19.-21. (γ) Ἐφεσ. Β. 5. 8. Ῥωμ. ς. 6. 17. 20. (δ) Τίτ. Β. 11. 12. Γ. 7.